


Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα
εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην:

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος
ἦν πρὸς τὸν θ(εό)ν, καὶ θ(εὸ)ς ἦν ὁ λό-
γος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν
θ(εό)ν. πάντα δι' αὐτοῦ ἐγένετο
καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν
ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζω-
ὴ ἦν τὸ φῶς τῶν ἀν(θρώπ)ων. καὶ τὸ φῶς
ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκο-
τία αὐτὸ οὐ κατέλαβεν. ἐγέ-
νετο ἄν(θρωπ)ος ἀπεσταλμένος πα-
ρὰ θ(εο)ῦ, ὄνομα αὐτῷ Ἰωάννης.
οὗτος ἦλθεν εἰς μαρτυρίαν,
ἵνα μαρτυρήσῃ περὶ τοῦ φω-
τός. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλ-
λ' ἵνα μαρτυρήσῃ περὶ τοῦ
φωτός.

ἀπεσταλμένος εἰ-
μὶ ἔμπροσθεν ἐ-
κείνου + ὁ ἔχων τὴν
νύμφην νυμφίος
ἐστίν· + ὁ δὲ φίλος τοῦ
νυμφίου· ὁ ἑστηκὼς
καὶ ἀκούων αὐτοῦ
χαρᾷ χαίρει· διὰ
τὴν φωνὴν τοῦ
νυμφίου + αὕτη
οὖν ἡ χαρὰ ἡ ἐμὴ
πεπλήρωται·
ἐκεῖνον δεῖ αὐξά-
νειν· ἐμὲ δὲ ἐλατ-
τοῦσθαι + ὁ ἄνωθεν
ἐρχόμενος ἐπά-
νω πάντων ἐ-
στίν· + ὁ ὢν ἐκ τῆς
γῆς, ἐκ τῆς γῆς ἐ-
στι, καὶ ἐκ τῆς γῆς
λαλεῖ + ὁ ἐκ τοῦ
οὐρανοῦ ἐρχόμενος
ἐπάνω πάντων
ἐστί· + καὶ ὃ ἑώρα-

κγ τὸ ἀρ πασ:

κε καὶ ἤκουσε· τοῦ-
το μαρτυρεῖ· καὶ
τὴν μαρτυρίαν
αὐτοῦ· οὐδεὶς λαμ-
βάνει· + ὁ λαβὼν
αὐτοῦ τὴν μαρτυ-
ρίαν· ἐσφράγισεν
ὅτι ὁ θεὸς ἀληθής ἐστι:-

ἐκ κατὰ ἰω



Οὔσης ὀψίας τῇ ἡ-
μέρᾳ ἐκείνῃ· τῇ
μιᾷ τῶν σαββά-
των· καὶ τῶν θυ-
ρῶν κεκλεισμένων·
ὅπου ἦσαν οἱ μα-
θηταὶ συνηγμένοι·
διὰ τὸν φόβον τῶν
ἰουδαίων, ἦλθεν
ὁ ἰησοῦς. καὶ ἔστη εἰς τὸ
μέσον καὶ λέγει
αὐτοῖς· + εἰρήνη
ὑμῖν· + καὶ τοῦ-
το εἰπὼν ἔδειξεν
αὐτοῖς τὰς χεῖρας

[illegible]



Εἶπεν ὁ κ(ύριο)ς τοῖς
ἑαυτοῦ μαθη-
ταῖς· ἔρχεται
ὥρα, ἵνα πᾶς
ὁ ἀποκτείνας ὑ-
μᾶς δόξῃ λατρεί-
αν προσφέρειν
τῷ θ(ε)ῷ· καὶ ταῦ-
τα ποιήσουσιν
ὅτι οὐκ ἔγνωσαν
τὸν π(ατέ)ρα οὐδὲ ἐ-
μέ· ἀλλὰ ταῦ-
τα λελάληκα ὑ-
μῖν ἵνα ὅταν ἔλ-
θῃ ἡ ὥρα μνη-
μονεύητε αὐτῶν
ὅτι ἐγὼ εἶπον
ὑμῖν· ταῦτα δὲ
ὑμῖν ἐξ ἀρχῆς
οὐκ εἶπον ὅτι με-
θ' ὑμῶν ἤμην·
νῦν δὲ ὑπάγω πρὸς
τὸν πέμψαντά
με, καὶ οὐδεὶς ἐξ ὑ-
μῶν ἐρωτᾷ με·
ποῦ ὑπάγεις· ἀλ-
λ' ὅτι ταῦτα λε-
λάληκα ὑμῖν ἡ
λύπη πεπλήρω-
κεν ὑμῶν τὴν
καρδίαν· ἀλλ' ἐ-
γὼ τὴν ἀλήθειαν
λέγω ὑμῖν· συμ-
φέρει ὑμῖν ἵνα
ἐγὼ ἀπέλθω· ἐ-
ὰν γὰρ ἐγὼ μὴ
ἀπέλθω, ὁ πα-
ράκλητος οὐκ ἐ-
λεύσεται πρὸς
ὑμᾶς· ἐὰν δὲ
πορευθῶ πέμ-
ψω αὐτὸν πρὸς
ὑμᾶς· καὶ ἐλ-
θὼν ἐκεῖνος ἐλέγ-
ξει τὸν κόσμον
περὶ ἁμαρτίας
καὶ περὶ δικαιο-
σύνης καὶ περὶ



Σα´ πρὸ τοῦ μέσου ε´:

ἐκ κα(τὰ) λου(κᾶν):

Τῷ καιρῷ ἐκεί-
νῳ· κατῆλθεν ὁ
Ἰ(ησοῦ)ς εἰς καπερνα-
οὺμ, πόλιν τῆς
γαλιλαίας· καὶ
ἦν διδάσκων
αὐτοὺς ἐν τοῖς
σάββασι· καὶ ἐ-
ξεπλήσσοντο
ἐπὶ τῇ διδαχῇ
αὐτοῦ· ὅτι ἐν ἐξ-
ουσίᾳ ἦν ὁ λόγος αὐ-
τοῦ· καὶ ἐν τῇ
συναγωγῇ ἦν ἄν-
θρωπος· ἔχων
πν(εῦμ)α δαιμονίου
ἀκαθάρτου·
καὶ ἀνέκραξε
φωνῇ μεγάλῃ λέ-
γων· ἔα· τί ἡ-
μῖν καὶ σοὶ Ἰ(ησο)ῦ να-
ζαρηνέ· ἦλθες
ἀπολέσαι ἡμᾶς·
οἶδα σε τίς εἶ ὁ
ἅγιος τοῦ Θ(εο)ῦ· καὶ
ἐπετίμησεν
αὐτῷ ὁ Ἰ(ησοῦ)ς· λέγων·
φιμώθητι καὶ
ἔξελθε ἐξ αὐτοῦ·
καὶ ῥῖψαν αὐτὸν
τὸ δαιμόνιον εἰς
τὸ μέσον ἐξῆλ-
θεν ἀπ᾽ αὐτοῦ·
μηδὲν βλάψαν
αὐτόν· καὶ ἐγέ-

τοῦ πρς μου. ταῦ
τα μαρτυρεῖ
περὶ ἐμοῦ + ἀλλ' ὑ
μεῖς οὐ πιστεύε
τε + οὐ γὰρ ἐστὲ
ἐκ τῶν προβά
των τῶν ἐμῶν +
καθὼς εἶπον
ὑμῖν. τὰ πρό
βατα τὰ ἐμὰ
τῆς φωνῆς μου
ἀκούει + κἀγὼ γι
νώσκω αὐτά. καὶ
ἀκολουθοῦσί μοι.
κἀγὼ ζωὴν αἰ
ώνιον δίδωμι
αὐτοῖς + καὶ οὐ
μὴ ἀπόλωνται
εἰς τὸν αἰῶνα.
καὶ οὐχ ἁρπάσει
τις αὐτὰ ἐκ
τῆς χειρός
μου + ὁ πατήρ
μου, ὃς δέ

δωκέ μοι μείζων
πάντων ἐστίν +
καὶ οὐδεὶς δύνα
ται ἁρπάζειν
ἐκ τῆς χειρὸς
τοῦ πρς μου +
ἐγὼ καὶ ὁ πὴρ ἕν
ἐσμεν.
Εἰς τὰς κγ΄ τῶν ἁγίων ι΄
μαρτύρων τῶν ἐν Κρήτῃ:
ζήτει κυριακῇ α΄ τοῦ πάσχα:
τῇ αὐτῇ ἡμέρᾳ τὰ
ἐγκαίνια τῆς μεγάλης
ἐκκλησίας. ζήτει Ἰουνίου κθ:
κυριακῇ α΄ πρὸ τῆς Χριστοῦ γεν
νήσεως. ζήτει κυριακῇ
ιβ τοῦ Λουκᾶ:
Κυριακὴ πρὸ τῆς Χριστοῦ
γεννήσεως:
Ἐκ τοῦ κατὰ Ματθαῖον:
Βίβλος γενέσεως
Ἰησοῦ Χριστοῦ. υἱοῦ
Δαβίδ. υἱοῦ
Ἀβραάμ +